www.tezaurliturgic.ro

# Ἀκολουθία
## τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν
# Νεοφύτου τοῦ Ἐγκλείστου

*Ποίημα*

*Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

www.tezaurliturgic.ro


*Εὐχόμαστε αἰώνια νὰ εἶναι ἡ μνήμη του καὶ ὁ Πανάγαθος Θεὸς νὰ τὸν ἀνταμείψει πλουσιοπάροχα γιὰ τὸ πνευματικό του ἔργο.*

*Τοὺς κατὰ Χριστὸν ἀδελφούς του, τοὺς Μικραγιαννανίτες μοναχούς, ποὺ μὲ πολλὴ προθυμία μᾶς παρέδωσαν τὸν ἀνεκτίμητο αὐτὸ θησαυρὸ μὲ τὴν παράκληση νὰ προχωρήσουμε στὴν ἔκδοσή του, εὐχαριστοῦμε ἀπὸ τὰ μύχια τῆς ψυχῆς μας. Διάπυρη εὐχή μας εἶναι ὁ Κύριος μὲ τὶς πρεσβεῖες τοῦ Ἐγκλείστου νὰ τοὺς στηρίζει καὶ νὰ τοὺς ἐνισχύει στοὺς ἀσκητικούς τους ἀγῶνες.*

*Ἱερὰ Μονὴ Ἁγίου Νεοφύτου*
*Δευτέρα 16 Ἰουνίου 1997*
*Τοῦ Ἁγίου Πνεύματος*

*Ἀρχιμ. Λεόντιος*
*Ἡγούμενος Ἱερᾶς Μονῆς*
*Ἁγίου Νεοφύτου*

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

## Σεπτεμβρίου κη΄

## Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Ὅτε ὑπεδέξω μυστικῶς, πῦρ τὸ τῆς ἀγάπης Κυρίου, ἐν τῇ καρδίᾳ σου, τότε πρὸς ἀσκήσεως πόνους ἐχώρησας, σεαυτὸν ἀρνησάμενος, καὶ τοῦ Χρυσοστόμου, τὴν Μονὴν κατέλαβες, προθύμως Ὅσιε· ὅθεν ἐγκρατείας ἀγῶσιν, ἔλαμψας Νεόφυτε Πάτερ, πόθῳ ἀναγόμενος τοῖς κρείττοσιν.

Ὅτε ἐν σπηλαίῳ σεαυτόν, Πάτερ ἠλιβάτῳ ἐγκλείεις, ὥσπερ ἀσώματος, τότε τοῦτο ἔδειξας τῇ πολιτείᾳ σου, ἀρετῶν γυμναστήριον, συντόνῳ ἀσκήσει, ὅπερ καὶ ὠνόμασας, Ἐγκλείστραν Ὅσιε· ὅθεν ἐξ αὐτῆς θεοφόρε, πᾶσαν καταλάμπεις τὴν Κύπρον, τοῖς σοῖς κατορθώμασι Νεόφυτε.

Ἄνθος πανευῶδες καὶ τερπνόν, Πάτερ ἐκ Λευκάρων ἀνθήσας, κατευωδίασας, τῇ ὀσμῇ τῆς χάριτος, τὴν Κύπρον ἅπασαν· ὡς γὰρ ἄγγελος Ὅσιε, ὁσίως βιώσας, τὸν Χριστὸν ἐδόξασας, λόγοις καὶ πράξεσιν· ὅθεν ἡ πατρίς σου χορεύει, τῇ σῇ ἰσαγγέλῳ ἀσκήσει, καὶ φαιδρῶς γεραίρει σε Νεόφυτε.

Χαίρει ἡ Ἐγκλείστρα σου σοφέ, καθαγιασθεῖσα ἱδρῶσι, τοῖς τῶν καμάτων σου, καὶ τὴν θείαν μνήμην σου πανηγυρίζουσα, ἐκβοᾷ σοι Νεόφυτε· Μὴ παύσῃ παρέχειν, ὡς πατὴρ φιλόστοργος, ἡμῖν τὴν χάριν σου, σκέπε δὲ τῇ σῇ προστασίᾳ ταύτην τὴν ἁγίαν Μονήν σου, ἣν πόνοις ἀμέτροις συνεκρότησας.

**Δόξα. Ἦχος β΄.**

Τοῖς ἀσκητικοῖς σου ἀγῶσι, καθαγνίσας τὸν νοῦν, σκεῦος πολύτιμον γέγονας, τοῦ Παναγίου Πνεύματος θεοφόρε Νεόφυτε· καὶ τύπον σεαυτὸν καταστήσας ἐναρέτου ζωῆς, ἐπαξίως ἐδέξω, τῶν σῶν πόνων τὰ ἔπαθλα, παρὰ τοῦ πάντων Δεσπότου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου......

## ΑΠΟΣΤΙΧΑ

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Οἶκος τῆς Παντουργοῦ, Τριάδος ἀνεδείχθης, σαυτὸν πιστῶς ἐγκλείσας, ἐν στενωτάτῳ ἄντρῳ, Νεόφυτε Μακάριε.

**Στίχ.:** Τίμιος ἐναντίον Κυρίου....

Γνώσει τῇ θεϊκῇ, καταυγασθεὶς θεόφρον, λόγους ζωῆς πηγάζεις, ὡς νᾶμα σωτηρίας, ἐκ γλώττης σου Νεόφυτε.

**Στίχ.:** Μακάριος ἀνήρ....

Δίδου σὴν ἀρωγήν, τῇ σῇ Ἐγκλείστρᾳ Πάτερ, καὶ πᾶσι τοῖς Κυπρίοις, καὶ Λεύκαρα εὐλόγει, τὴν σὴν πατρίδα Ὅσιε.

**Δόξα. Τριαδικόν.**

Ὕμνει τὴν σὴν ἰσχύν, ἔνδον ἐν τῷ σπηλαίῳ, Τριὰς Ὑπεραγία, Νεόφυτος ὁ θεῖος, καὶ θείαν χάριν εἴληφε.

**Καὶ νῦν. Θεοτοκίον.**

Λόγος ὁ τοῦ Θεοῦ, τεχθεὶς δι' εὐσπλαγχνίαν, ἀτρέπτως ὑπὲρ λόγον, ἐκ τῆς γαστρός σου Κόρη, ἡμᾶς φθορᾶς ἐρρύσατο.

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.**

www.tezaurliturgic.ro




**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛʹ. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Τῷ Χριστῷ ἐκ νεότητος, ἠκολούθησας Ὅσιε, κοσμικὴν τερπνότητα ἀρνησάμενος, καὶ ἀπεδύσω θερμότατα, πρὸς πόνους ἀσκήσεως, θεολήπτῳ λογισμῷ, θεοφόρε Νεόφυτε, ἐν οἷς ἔλαμψας, ὡς λαμπρὸς ἑωσφόρος καταυγάζων, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Τῆς σαρκός σου τὸ φρόνημα, τῇ ψυχῇ καθυπέταξας, ἐγκρατείας σκάμμασι Πάτερ Ὅσιε, καὶ λαμπρυνθεὶς θείῳ Πνεύματι, φωστὴρ θεῖος πέφηνας, εὐσεβείας τῷ φωτί, καταυγάζων Νεόφυτε, τὰ συστήματα, τῶν Κυπρίων, ὡς θεῖος ὑποφήτης, καὶ θεράπων θεοφόρος, τῆς Τρισηλίου θεότητος.

Θείῳ Πνεύματι Ὅσιε, ἀληθῶς ὁδηγούμενος, σπήλαιον ἀπόκρημνον χαίρων ᾤκησας, καὶ σεαυτὸν ναὸν ἔμψυχον, Τριάδος ἀνέδειξας, καὶ Ἐγκλείστραν προσφυῶς, τοῦτο Πάτερ ὠνόμασας, ἔνθα ἤνυσας, τοὺς μεγίστους ἀγῶνας καὶ ἐπλήσθης, οὐρανίων χαρισμάτων, παρὰ τοῦ σὲ θαυμαστώσαντος.

Τῶν Λευκάρων τὸ βλάστημα, καὶ Κυπρίων τὸ καύχημα, καὶ Ὁσίων ἔνθεον ἐγκαλλώπισμα, τὸν θεοφόρον Νεόφυτον, συμφώνως τιμήσωμεν, ὡς δοχεῖον ἀρετῶν, καὶ φυτὸν εὐθαλέστατον, θείων πράξεων, φερωνύμως ἡμῖν ἀναδειχθέντα, καὶ πρεσβεύοντα ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Τίς ἀξίως ὑμνήσει σου, θεοφόρε Νεόφυτε, τῆς στερρᾶς ἀσκήσεως τὰ παλαίσματα; σὺ γὰρ ὡς ἄσαρκος Ὅσιε, σαυτὸν ἐγκατέκλεισας, ἐν σπηλαίῳ καὶ τὸν νοῦν, πρὸς Θεὸν ὡς ἀνύψωσας, καταβέβληκας, τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, καὶ ἐδείχθης, Μοναζόντων ποδηγέτης, καὶ ὁδηγὸς ἀσφαλέστατος.

Τὴν ἁγίαν Ἐγκλείστραν σου, ἣν ἡγίασας Ἅγιε, πόνοις καὶ παλαίσμασι θείῳ Πνεύματι, σκέπε ἀπαύστως καὶ φύλαττε, τὰ θεῖά σου λείψανα, κεκτημένην ἀληθῶς, ὡς θησαύρισμα ἅγιον, καὶ τελοῦσάν σου, θεοφόρε Νεόφυτε τὴν μνήμην, καὶ προστρέχουσαν ἐν πίστει, τῇ θαυμαστῇ προστασίᾳ σου.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον ὡς ἑωσφόρος φαεινὸς ἀνέτειλεν, ἡ τοῦ Ὁσίου Νεοφύτου μνήμη, τοὺς εὐσεβεῖς καταφαιδρύνουσα· τοῦ γὰρ ἀΰλου φωτός, τὰς χορηγίας πλουτήσας, τῇ καθαρᾷ ἀσκήσει, μυστικῶς καταυγάζει, τοὺς βοῶντας αὐτῷ· χαίροις ὁ δι' ἐγκλείστου ζωῆς σεαυτὸν ἐκκαθάρας, καὶ τοῦ Παρακλήτου τὴν χάριν δεξάμενος· χαίροις ὁ τῆς Ἁγίας Τριάδος θεράπων, καὶ τῆς ἐν Χριστῷ ζωῆς, ὑφηγητὴς πρακτικώτατος· χαίροις ὁ τῶν Λευκάρων βλαστός, πάσης Κύπρου καύχημα, καὶ τῆς Ἐγκλείστρας δομήτωρ, καὶ πρὸς Θεὸν πρεσβευτὴς θερμότα-

τος. Ὦ ἐκτενῶς πρέσβευε, Ὅσιε Πάτερ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Ὁ αὐτός.**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθεὶς φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ' 1-9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. δ΄ 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μα-

www.tezaurliturgic.ro

κρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

## ΕΙС ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ μεγαλόνησος Κύπρος, λαμπρυνομένη ταῖς χάρισι, πολυαρίθμων Ἁγίων· ἐν αὐτοῖς γὰρ διαπρέπει, ὁ θεοφόρος Νεόφυτος, ὁ ἐν Ὁσίοις ἔγκλειστος, καὶ ἐν Ἀσκηταῖς περιφανής· συσταυρωθεὶς γὰρ τῷ Χριστῷ, τῇ τῶν φθαρτῶν ἀπαρνήσει, τῆς αἰωνίου ζωῆς τὴν λαμπρότητα, δι' ἀπαθείας ὑπέφηνεν· ἀγγελικῶς γὰρ βιώσας, ἀγγελικῶν χαρίτων ἠξίωται, καὶ πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β΄.

Ἀνατεθεὶς Χριστῷ ἐκ νεότητος, τοῖς ἴχνεσιν αὐτοῦ ἠκολούθησας, θεολήπτῳ φρονήματι, θεοφόρε Νεόφυτε· τοῖς γηροῖς γὰρ πᾶσι, χαίρειν εἰπών, ἀσκητικῶν ἀγώνων τὸ στάδιον, ὥσπερ ἄσαρκος ὑπῆλθες· καὶ ἔξω κόσμου καὶ σαρκὸς γενόμενος, τύπος ὤφθης Μοναστῶν, καὶ τοῦ Παρακλήτου κειμήλιον. Καὶ νῦν Πάτερ Ὅσιε, μετάδος καὶ ἡμῖν ἐκ τῶν σῶν χαρίτων, τοῖς ἑορτάζουσι τὴν μνήμην σου.

### Ἦχος γ΄.

Ἀφιστάμενος τῶν κάτω, καὶ πρὸς Θεὸν ἀναγόμενος, ἐν ἠλιβάτῳ σπηλαίῳ, ἠρετίσω κατοικεῖν, Ὅσιε Πάτερ Νεόφυτε· καὶ ἐν αὐτῷ Θεῷ ἑνούμενος, καὶ καθαρωτάτῳ νοΐ ὁμιλῶν, θείου φωτὸς πεπλήρωσαι, τὰ ὑπὲρ λόγον μυούμενος, καὶ μακαρισμοῦ θείου ἀξιούμενος· μακάριοι γὰρ φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Καὶ νῦν Χριστοῦ τὴν λαμπρότητα, ἀνακεκαλυμμένως ὁρῶν, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

www.tezaurliturgic.ro

### Ἦχος δ΄.

Ἀσκητικοῖς ἱδρῶσι, παθῶν τὴν φλόγα σβέσας, καὶ δακρύων ρείθροις καταρδευθείς, ὡς δένδρον κατάκαρπον ἤνθησας, ἐν τῇ σῇ Ἐγκλείστρᾳ, Ὅσιε Πάτερ Νεόφυτε· ὁ γὰρ καρπὸς τῶν πόνων σου, τῶν σῶν φοιτητῶν τὰς ψυχὰς διέθρεψε, πρὸς ἀρετῶν τελειότητα· νῦν δὲ ἡμᾶς ὁ σὸς λόγος εὐφραίνει, καὶ φωτίζει καὶ ἁγιάζει, τοῦ βοᾶν ἀπαύστως· Κύριε δόξα σοι.

### Ἦχος πλ. α΄.

Τῇ σοφίᾳ τοῦ Πνεύματος, καταγλαϊσθεὶς θεόφρον, διδασκαλίας λόγον ἔβλυσας, ὡς θεῖον γλυκασμόν, ἐκ τῶν χειλέων σου Πάτερ· καθαγνίσας γὰρ τὸν νοῦν, πάσης προσύλου σχέσεως, θεόπνευστον ὄργανον ὤφθης, διδαχῶν σωτηρίων· διὸ καὶ τοῖς συνοῦσί σοι ἔλεγες· Ἀγαθὸν ὑπέρτερον παντὸς ἀγαθοῦ, Θεοῦ φόβος καὶ μνήμη θανάτου. Ἀλλ' ὦ Νεόφυτε Ὅσιε, δίδου ἡμῖν θεῖον φόβον, ὡς ἂν μέτοχοι γενώμεθα τῆς βασιλείας τῶν οὐρανῶν, ἐν τῇ θείᾳ χρηστότητι.

### Δόξα. Ὁ αὐτός.

Τὸν ἐν Ὁσίοις ἔγκλειστον, καὶ ἐν Πατράσι περιφανῆ ἀστέρα, Νεόφυτον τὸν μέγαν, ἅπασα ἡ Κύπρος, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς τιμάτω· ὑπερφυῶς γὰρ ἠγώνισται, ἐν τῇ ἑαυτοῦ Ἐγκλείστρᾳ, ὑπερβὰς τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως· ἐν προσευχαῖς γὰρ καὶ νηστείαις, καὶ παννύχοις στάσεσιν, Ἀγγέλοις ἡμιλλήθη καὶ Θεὸν ἐδόξασε· νῦν δὲ τοῖς θείοις αὐτοῦ λειψάνοις, πάντας ἁγιάζει, τοὺς εὐλαβῶς προσιόντας· ἡ γὰρ θεία χάρις ἡ ἐν αὐτοῖς σκηνοῦσα, παρέχει πᾶσιν ἱλασμὸν καὶ φωτισμόν, καὶ τὸ θεῖον ἔλεος.

### Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων....

www.tezaurliturgic.ro

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ὁ τῶν Λευκάρων βλαστός, τῆς νήσου Κύπρου περιβόητον καύχημα, ἁπάσης τῆς Ἐκκλησίας, ὁ φωτοφόρος ἀστήρ, ὑποφήτης θείων ἀναβάσεων, Νεόφυτε Ὅσιε, Μοναζόντων ἀγλάϊσμα, τοῦ Παρακλήτου, φωταυγὲς ἐνδιαίτημα, οὗ τὴν ἄϋλον, εἰσδεχόμενος ἔλλαμψιν, λόγους θείους συνέγραψας, ἀεί ἀποστάζοντας, τὸν γλυκασμὸν θεοφόρε, σοφίας Πάτερ τῆς ἄνωθεν. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Στίχ.:** Τίμιος ἐναντίον Κυρίου...

Χαίρει ἡ νῆσος Κύπρος ἐν σοί, ἀγαλλομένη τοῖς λαμπροῖς προτερήμασι, τῆς θείας σου πολιτείας, δι' ὧν ὡράθης ἐν γῇ, ἄγγελος καθάπερ τῇ ἀσκήσει σου, Νεόφυτε Ὅσιε, ἀπαθείας θησαύρισμα, τῆς ἐγκρατείας, ἀληθὴς ὑποτύπωσις, βίου κρείττονος, ὑποφήτης θεόσοφος· ὅθεν καὶ τὴν ἁγίαν σου, γεραίρουσα κοίμησιν, τῶν σῶν λειψάνων τὴν θήκην, πανευλαβῶς περιπτύσσεται, ἐξ ἧς ἀναβλύζει, ἰαμάτων θεῖα ῥεῖθρα, καὶ θεῖον ἔλεος.

**Στίχ.:** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Χαίροις ὁ τῆς Ἐγκλείστρας λαμπτήρ, καὶ Μοναζόντων τῶν ἐν ταύτῃ ὁ ἔφορος, καὶ πρέσβυς πρὸς τὸν Σωτῆρα, καὶ ὁδηγὸς ἀσφαλής, καὶ μεσίτης ὄντως ἑτοιμότατος, Νεόφυτε Ὅσιε, τῶν Ὁσίων ἀγλάϊσμα· διὸ καὶ πίστει, τοῖς ἁγίοις λειψάνοις σου, καταφεύγουσα, θείαν χάριν πορίζεται· ταῦτα γὰρ μετὰ χρόνιον, ἐν τάφῳ κατάκρυψιν, οἷα θησαύρισμα θεῖον, τῆς ἐνεργείας τοῦ Πνεύματος, ἐπλούτησε Πάτερ, καὶ φαιδρῶς πανηγυρίζει, τὴν θείαν μνήμην σου.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τῶν ἀρετῶν σου τῷ φωτί, ὥσπερ πυρσὸς φωτοφόρος, καταυγάζεις Πάτερ, τῆς Ἐκκλησίας τὰ πληρώματα· κατα-

www.tezaurliturgic.ro


κλείσας γὰρ σαυτὸν, ἐν στενωτάτῳ ἄντρῳ, τὴν ὑπερκόσμιον ζωήν, ἐν ὑλικῷ σώματι βεβίωκας· καὶ τοῦ θείου φωτισμοῦ, κατατρυφῶν ἐν μυστηρίῳ, τῆς μελλούσης δόξης τὰ προοίμια διέγραψας. Καὶ νῦν Ὅσιε Νεόφυτε, ἐν μετοχῇ θείᾳ θεούμενος, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι...

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Τῶν Λευκάρων τὸν γόνον, καὶ τῆς Κύπρου τὸ καύχημα, καὶ Μονῆς Ἐγκλείστρας τὸ κλέος, θεοφόρον Νεόφυτον, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, ὡς σκεῦος οὐρανίων ἀρετῶν, καὶ ὡς πρέσβυν ἡμῶν μέγαν πρὸς τὸν Θεόν, ἀπὸ ψυχῆς κραυγάζοντες· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

**Ἕτερον: Ἦχος γ΄. Θείας πίστεως.**

Βίον ἔγκλειστον, ἐπιποθήσας, σκεῦος τίμιον, τῆς ἐγκρατείας, ἀνεδείχθης θεοφόρε Νεόφυτε· τῶν ἀρετῶν γὰρ τῇ πράξει κοσμούμενος, ἔργῳ καὶ λόγῳ ἐκφαίνεις τὰ κρείττονα. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Θεοτοκίον.**

Σὲ τὴν μεσιτεύσασαν....

**Ἀπόλυσις**

www.tezaurliturgic.ro

# ΕἸΣ ΤΟΝ ὌΡΘΡΟΝ

**Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ὡς ἥλιος λαμπρός, ἐκ τῆς Κύπρου ἐκλάμψας, ἐκπέμπεις πανταχοῦ, ἀρετῶν τὰς ἀκτῖνας, Νεόφυτε μακάριε, τῶν Ὁσίων ἰσότιμε. Ὅθεν σήμερον τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες ὑπὲρ ἡμῶν σε πρεσβεύειν, αἰτοῦμεν πρὸς Κύριον.

**Δόξα. Ὅμοιον.**

Θαυμάτων εἰληφώς, οὐρανόθεν τὴν χάριν, Νεόφυτε σοφέ, δαιμονῶντας ἰᾶσαι, τοὺς πίστει καταφεύγοντας, τῇ πρεσβείᾳ σου Ὅσιε, καὶ νοσήματα, τὰ ψυχικὰ θεραπεύεις, παραλύτους δέ, θᾶττον συσφίγγεις θεόφρον, δυνάμει τοῦ Πνεύματος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὡς τέξασα Θεόν, μετὰ σώματος Κόρη, ῥυόμενον ἡμᾶς, τῆς ἀρχαίας κατάρας, Ἀγγέλων ὑπερέχουσα, καὶ βασίλισσα

www.tezaurliturgic.ro

πέφηνας· ὅθεν μέτοχον τῆς οὐρανῶν βασιλείας, κἀμὲ ἔργασαι, τὸν καταφεύγοντα πίστει, Παρθένε τῇ σκέπῃ σου.

### Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐγκλείστρας ἀγλάϊσμα, καὶ ἀντιλήπτωρ θερμός, Κυπρίων δὲ καύχημα καὶ πρεσβευτὴς πρὸς Θεόν, ἐδείχθης Νεόφυτε. Ὅθεν σου τὴν ἁγίαν, ἑορτάζοντες μνήμην, πίστει τῶν σῶν λειψάνων, τὴν σορὸν προσκυνοῦμεν, ἐξ ἧς ἡμῖν παρέχεις ἰάματα ἄφθονα.

### Δόξα. Ὅμοιον.

Τῷ σῷ ἁγιάσματι, πάθη ποικίλα ψυχῶν, ἰᾶσαι ἑκάστοτε, ἐν τῇ δυνάμει Χριστοῦ, Νεόφυτε Ὅσιε· σὺ γὰρ κατ᾽ ὄναρ φαίνῃ, καὶ καθ᾽ ὕπαρ παμμάκαρ, νέμων ἑνὶ ἑκάστῳ, ὃ ἐν πίστει αἰτεῖται· διὸ τὴν δεδομένην σοι χάριν κηρύττομεν.

### Καὶ νῦν. Θεοτοκίον.

Ἐκ μήτρας σου ἔλαμψε, δίχα τροπῆς καὶ φυρμοῦ, ὁ Λόγος ὁ σύνθρονος, τοῦ Προανάρχου Πατρός, καὶ κόσμον ἀνέπλασεν· ὅθεν σὲ Θεοτόκε, ὡς αἰτίαν καὶ ῥίζαν, ἅπαντες ἀνυμνοῦμεν, τῆς ἡμῶν σωτηρίας, τὸ χαῖρε τοῦ Ἀγγέλου βοῶντές σοι Ἄχραντε.

### Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

### Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀνυψώσας τὸν νοῦν σου πρὸς τὸν Θεόν, ἐπτερώθης τῷ πόθῳ τῶν ἀγαθῶν, καὶ πάντα τὰ γήϊνα, ἀπορρίψας ὡς πρόσκαιρα, ἐν στενοτάτῳ ἄντρῳ, σαυτὸν ἐγκατέκλεισας, τὸ σῶμα κατατήκων, νηστείαις καὶ δάκρυσιν· ὅθεν κατ᾽ ἀξίαν, τῆς Ἁγίας Τριάδος, δοχεῖον ὑπέρτιμον, καὶ ναὸς ὤφθης ἔμψυχος, θεοφόρε

Νεόφυτε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Θεοτοκίον.**

Ἐξ ἁγνῶν σου αἱμάτων ὑπερφυῶς, διὰ σπλάγχνα ἐλέους καὶ οἰκτιρμῶν, σάρκα προσελάβετο, μὴ τραπεὶς τὴν θεότητα, ὁ Ποιητὴς τῶν ὅλων, καὶ πάντας ἐρρύσατο, ἐκ τῶν δεσμῶν τοῦ Ἅδου, ὁ μόνος φιλάνθρωπος. Ὅθεν Θεοτόκε, τοὺς πιστῶς προσκυνοῦντας, τὸ μέγα μυστήριον, τοῦ σοῦ τόκου ἀπάλλατε, προσβολῶν τοῦ ἀλάστορος, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς μεγαλύνουσι Κόρη, τὴν ἄφραστον δόξαν σου.

**Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου, καὶ τὸ Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Στίχ.:** Μακάριος ἀνὴρ ὁ φοβούμενος τόν Κύριον....

**Εὐαγγέλιον κατὰ Ματθαῖον:**

«Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη...»

**Ζήτει ἐν τῇ Λειτουργίᾳ τοῦ Ἁγ. Σάββα ε΄. Δεκεμβρίου.**

**Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ.:** Ἐλέησόν με ὁ Θεός....

Ὅσιε Πάτερ, θεοφόρε Νεόφυτε, τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίσας, πρὸς πλατυσμὸν ἀπαθείας ἐχώρησας, καὶ τὰς σκολιὰς τοῦ Βελίαρ τρίβους, πάσας ἀπεστένωσας, τῷ πλάτει τῶν ἀγώνων σου· καὶ νῦν ἐν τῇ ἄνω βασιλείᾳ χοροβατῶν, καὶ τῶν καμάτων τὰ γέρα δρεπόμενος, ἐκ παθῶν στενώσεως, ἡμᾶς ἀπάλλαττε, καὶ παντὸς σκανδάλου, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

www.tezaurliturgic.ro


**Ὁ Ἱερεύς:** Σῶσον ὁ Θεὸς τὸν λαόν σου....

**Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς:**
**«Νεοφύτῳ τῷ Ἐγκλείστῳ ὕμνος. Γερασίμου».**

Ὠδὴ α΄. Ἦχος δ΄. **Ἀνοίξω τὸ στόμα μου.**

Νοός μου τὴν ζόφωσιν, ταῖς σαῖς πρεσβείαις διάλυσον, Νεόφυτε Ὅσιε, καὶ λόγον δίδου μοι, ὅπως μέλψω σου τοὺς ἱεροὺς ἀγῶνας, δι'ὧν εὐηρέστησας, τῷ Παντοκράτορι.

Ἐτρώθης τῷ ἔρωτι, ἀπὸ νεότητος Ὅσιε, Χριστοῦ τοῦ Παντάνακτος, ὅθεν κατέλιπες, κόσμον ἅπαντα, καὶ προσηκόντων σχέσιν, πρὸς δρόμον οὐράνιον, κατευθυνόμενος.

Ὁ νοῦς ὁ θεόσοφος, τῶν ἀρετῶν τό θησαύρισμα, ὁ μέγας Νεόφυτος, ὁ τῶν Κυπρίων φωστήρ, Ἐκκλησίας δέ, ἁπάσης ἡ φαιδρότης, ὑμνείσθω μοι σήμερον, θείοις ἐν ᾄσμασι.

**Θεοτοκίον.**

Φωτί τοῦ προσώπου σου, φωτοκυῆτορ Πανάμωμε, παθῶν μου ἀπέλασον, τὴν ἀμαυρότητα, ἡ κυήσασα, μορφῇ ἐν ἀνθρωπίνῃ, Πατρός τὸ ἀπαύγασμα, δι' ἀγαθότητα.

Ὠδὴ γ΄. **Τοὺς σοὺς ὑμνολόγους.**

Ὑπόπτερος ἔλιπες τὰ πάντα, καὶ χαίρων Μονὴν τὴν ἱεράν, τοῦ Χρυσοστόμου Ὅσιε, πίστει θερμῇ κατέλαβες, ἀσκητικὴν ἑλόμενος, ζωὴν καὶ βίον οὐράνιον.

Τὸν νοῦν σου μελέτῃ θειοτέρᾳ, λαμπρύνων Νεόφυτε σοφέ, σοφίας ὢν ἀμύητος τῆς θύραθεν ἀλλ' ἔμπλεως, τῇ χάριτι τοῦ Πνεύματος, τῆς θείας γνώσεως γέγονας.

Ὡς ἔλαφος ἔδραμες διψῶσα, εἰς Τόπους ἁγίους ἐκζητῶν, τὰ κρείττονα χαρίσματα, Νεόφυτε μακάριε, τῶν πάλαι δὲ

www.tezaurliturgic.ro

ἑπόμενος, θείων Πατέρων τοῖς ἴχνεσιν.

**Θεοτοκίον.**

Τὸν πάντων Δεσπότην τετοκυῖα, ἀτρέπτως δι᾽ ἔλεος πολύ, τρεπόμενον τοῖς πάθεσιν, ἐν μετανοίας πέτρᾳ με, στερέωσον Πανάμωμε, τὸν σὸν ἱκέτην καὶ σῶσόν με.

**Κάθισμα.**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῆς Ἐκκλησίας ὁ λαμπρὸς ἑωσφόρος, καὶ τῶν Κυπρίων παμφαέστατος λύχνος, καὶ τῆς Ἐγκλείστρας πολιοῦχος ἔνθεος, ὁ κλεινὸς Νεόφυτος, τῶν Λευκάρων τὸ κλέος, ἀνυμνείσθω ᾄσμασιν, ἱεροῖς παρὰ πάντων· διὰ παντὸς πρεσβεύει γὰρ Χριστῷ, ἡμῖν διδόναι, πταισμάτων συγχώρησιν.

**Θεοτοκίον.**

Ὁ τῶν ἁπάντων Ποιητὴς καὶ Δεσπότης, ἐκ τῆς ἀχράντου σου νηδύος Παρθένε, τὴν τοῦ Ἀδὰμ οὐσίαν ἐμορφώσατο, καὶ Θεὸς καί ἄνθρωπος, τοῖς ἐν γῇ καθωράθη, καὶ ἡμᾶς ἀνύψωσε, πρὸς τὴν ἄφθαρτον δόξαν, τοὺς ὀρθοδόξως μέλποντας Ἁγνή, τοῦ τοκετοῦ σου τὸ μέγα μυστήριον.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ὡς ἀνῆλθες ἐν σπηλαίῳ, ἀποκρήμνῳ Νεόφυτε, πίστει θερμοτάτῃ, ἐν αὐτῷ κατῴκησας Ἅγιε, πρὸς τὸν Δεσπότην τῶν ὅλων ἀνυψούμενος, ᾧ καὶ ἔκραζες· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἐκ Θεοῦ λαβὼν τὴν χάριν, καθαρθεὶς δι᾽ ἀσκήσεως, ἐκ παθῶν προσύλων, ὤφθης Μοναζόντων διδάσκαλος, διδασκαλίας τὸν λόγον προβαλλόμενος, τοῖς προστρέχουσι, τῇ σῇ Ἐγκλείστρᾳ Νεόφυτε.

www.tezaurliturgic.ro

Γεωργῶν τὰς διανοίας, τῶν πιστῶν θείῳ λόγῳ σου, ταύτας καρποφόρους, θείων ἀρετῶν Πάτερ ἔδειξας· πλουσία χάρις γὰρ δέδοται σοῖς χείλεσι, καὶ ἀνέβλυσας, ζωῆς ἐνθέου διδάγματα.

**Θεοτοκίον.**

Κλῖμαξ θεία καθωράθης, Ἰακὼβ τῷ θεόφρονι, Κεχαριτωμένη· ὁ γὰρ Θεὸς Λόγος ὡς ἄνθρωπος, διὰ σοῦ κόσμῳ ὡράθη καὶ ἀνύψωσεν, ἡμᾶς Ἄχραντε, ἐξ οὗ τὸ πάλαι πεπτώκαμεν.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Λαμπρύνεται Ὅσιε, ἡ Κύπρος τῇ σῇ χάριτι, Λεύκαρα δὲ Πάτερ ἐξαιρέτως, ἀγαλλιῶνται ἡ σὴ πατρὶς μυστικῶς, ἅμα δὲ Ἐγκλείστρα ἡ σεπτή, χαίρει ὡς κατέχουσα, τὴν σορὸν τῶν λειψάνων σου.

Ἐδόθη σοι Ὅσιε, διδασκαλίας χάρισμα, ὡς Θεοῦ θεράποντι ἐνθέῳ· ὅθεν ὡς μέλι καὶ γλυκασμὸς νοητός, τέρπει καὶ εὐφραίνει τὰς ψυχάς, Ἅγιε Νεόφυτε, ὁ θεόβρυτος λόγος σου.

Ἰάσεις παρέχουσα, ψυχῆς ἅμα καὶ σώματος, ἡ σορὸς τῶν θείων σου λειψάνων, ἡμῖν ἐδόθη μετὰ χρονίαν ταφήν· ὅθεν τὴν ἀνεύρεσιν αὐτῶν, πόθῳ ἑορτάζοντες, ἀνυμνοῦμέν σε Ὅσιε.

**Θεοτοκίον.**

Σαρκὸς ὁμοιώματι, τεχθεὶς ὁ πρὶν ἀσώματος, Λόγος τοῦ Θεοῦ ἐκ τῆς γαστρός σου, τῆς ἀλογίας τῶν ἀκαθάρτων παθῶν, ῥύεται τοὺς μέλποντας πιστῶς, μόνη Ἀειπάρθενε, τὰ πολλὰ μεγαλεῖά σου.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Τῶν σῶν ἀγώνων τὰ τρόπαια, ἃ ἤνυσας ὡς ἄσαρκος Ὅσιε, κηρύττει ἅπασιν, ἡ σὴ Ἐγκλείστρα Νεόφυτε, ἐν ᾗ ἐθαυμαστώθης, Ἁγίῳ Πνεύματι.

www.tezaurliturgic.ro

Ως ὑπεδέξω τοῦ Πνεύματος, τὴν χάριν θεοφόρε Νεόφυτε, λόγον σωτήριον, ὡς ζωῆς ὕδωρ ἀνέβλυζες, ἀρδεῦον τὰς καρδίας, τῶν προσιόντων σοι.

Υμνολογοῦντες Νεόφυτε, τοῦ βίου σου τὰ θεῖα παλαίσματα, πιστῶς προσπίπτομεν, τοῖς μυριπνόοις λειψάνοις σου, ψυχὰς ἁγιαζόμενοι, καὶ τὰ σώματα.

**Θεοτοκίον.**

Μὴ καταφλέξας τὴν μήτραν σου, ὁ πῦρ καὶ φλὸξ ὑπάρχων Θεὸς ἡμῶν, ἐν σοὶ ἐσκήνωσεν, καὶ σάρξ ἐκ σοῦ ἐχρημάτισε, Παρθένε Θεοτόκε, πλούτῳ χρηστότητος.

**Κοντάκιον: Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.**

Σαυτὸν ἐγκλείσας οὐρανίῳ σου φρονήματι
Τῆς ἀπαθείας ἀνεδείχθης θεῖον ὄργανον
Καὶ θεράπων ἐνθεώτατος τῆς Τριάδος.
Ης τῷ θρόνῳ παριστάμενος ἱκέτευε
Πάσης βλάβης καὶ ἀνάγκης ἡμᾶς ῥύεσθαι
Τοὺς βοῶντάς σοι· χαίροις Πάτερ Νεόφυτε.

**Ἕτερον: Ἦχος γ'. Ἡ Παρθένος σήμερον.**

Ἐν σπηλαίῳ Ὅσιε, ζωὴν ἰσάγγελον ζήσας, καὶ αὐτὸ Ἐγκλείστραν δέ, ἐπονομάσας προσφόρως, σκήνωμα, τῆς Παναγίας Τριάδος ὤφθης· ὅθεν σου τὴν θείαν μνήμην ἐπιτελοῦντες, ἀνυμνοῦμέν σε βοῶντες· χαῖρε τῆς Κύπρου κλέος Νεόφυτε.

**Ὁ Οἶκος.**

Τῷ Χριστῷ ἐκ νεότητος Ὅσιε, ἀνετέθης καρδίας θερμότητι, καὶ τῷ φόβῳ αὐτοῦ στοιχειούμενος, τῶν ματαίων ἁπάντων ἐμάκρυνας, καὶ ἠκολούθησας αὐτῷ, ἀνεπιστρόφῳ λογισμῷ, καὶ πίστει ἀδιστάκτῳ· αὐτοῦ γὰρ τὸν Σταυρὸν ἦρας, καὶ συνεσταύ-

www.tezaurliturgic.ro
ρωσαι αὐτῷ, ἀσκητικοῖς ἀγῶσιν καὶ πόνοις ἀνενδότοις· καὶ ἐν σπηλαίῳ ἠλιβάτῳ καὶ στενῷ ἀνελθών, ἔξω κόσμου καὶ σαρκὸς ἐγένου, πρὸς τὰ ἄνω ἀφορῶν, καὶ αὐτὰ φθάσαι ἐπιποθῶν, τῇ ἰσαγγέλῳ ζωῇ σου· ὅθεν θείων χαρισμάτων τὰς δωρεὰς παρὰ Θεοῦ ἐδέξω, καὶ τῆς ἐναρέτου ζωῆς καὶ καθαρᾶς ἀσκήσεως φωστὴρ ἐδείχθης, καὶ ὑποφήτης πρακτικός, καὶ θεοφόρος μύστης. Ὅθεν ἡ Ἐκκλησία τοῦ Χριστοῦ καὶ ἐξαιρέτως τὰ τῶν Κυπρίων συστήματα, κατὰ χρέος σε ὑμνοῦμεν, καὶ εὐχαρίστως βοῶμεν· χαῖρε τῆς Κύπρου κλέος Νεόφυτε.

## Συναξάριον.

### Ἰανουαρίου κδ΄

Τῇ κδ΄ τοῦ αὐτοῦ μηνὸς Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.

**Στίχοι:**

Ἐν ἄντρῳ Νεόφυτε ἔγκλειστος ζήσας
Πρὸς πλάτος ἐσκήνωσας ζωῆς τῆς ἄνω.
Εἰκάδι τετάρτῃ Νεόφυτος πόλου δώμασιν ἔβη.

### Σεπτεμβρίου κη΄

Τῇ κη΄ τοῦ αὐτοῦ μηνός, μνήμην ἄγομεν τῆς εὑρέσεως καὶ ἀνακομιδῆς τῶν ἁγίων λειψάνων, τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.

**Στίχοι:**

Ἐκ τάφου Νεόφυτε τὰ λείψανά σου
Ἐξεκομίσαμεν πηγάζοντα χάριν.
Εἰκάδι ὀγδόῃ Νεοφύτοιο δέμας λιγαίνω.

Οὗτος ἦν κατὰ τὸν δωδέκατον αἰῶνα, γεννηθεὶς ἐν ἔτει ͵αρλδ΄. (1134) ἐν τῇ κωμοπόλει Λεύκαρα, τῇ οὔσῃ ἐν τῇ μεγαλονήσῳ Κύπρῳ. Οἱ γονεῖς αὐτοῦ ἐκαλοῦντο Ἀθανάσιος καὶ

www.tezaurliturgic.ro

Εὐδοξία, ὑφ' ὧν ἀναχθείς, καὶ τὸ δέκατον καὶ ὄγδον τῆς ἡλικίας φθάσας ἔτος, προείλετο τὴν μοναχικὴν ζωήν, ἀγαπήσας τὸν ἐλαφρὸν τοῦ Κυρίου ζυγόν. Καὶ λάθρα ἀναχωρήσας τῶν οἰκείων, παρεγένετο ἐν τῇ Μονῇ τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, τῇ οὔσῃ ἐν τῷ ὄρει Κουτσοβέντη, ἔνθα περιεβλήθη τὸ τῶν Μοναχῶν σχῆμα. Ἄμοιρος ὢν γραμμάτων, ἐπεδόθη ἐν πολλῇ ἐπιμελείᾳ εἰς τὴν κατάκτησιν τούτων· καὶ μελετῶν καὶ τὰς θείας Γραφάς, κατέστη κάτοχος πολλῶν γνώσεων, αὐτοδίδακτος ὤν, ἀναδειχθεὶς δόκιμος συγγραφεὺς καί ῥήτωρ γλαφυρός, ὡς μαρτυροῦσιν αἱ σωζόμεναι συνθῆκαι τῶν λόγων αὐτοῦ.

Εἶτα μετέβη εἰς τούς ἁγίους Τόπους, πρὸς ἀναζήτησιν τελειοτέρας ζωῆς· καὶ μὴ εὑρὼν ὃ ἐπόθει, προσκυνήσας τὰ ἱερὰ σεβάσματα καὶ τὸν Πανάγιον Τάφον, ἐπανέκαμψε τῇ ἑαυτοῦ πατρίδι, καὶ ἤρξατο ἀναζητῶν τόπον ἡσύχιον πρὸς ἀναχώρησιν καὶ μονίαν, καὶ πρὸς τοῦτο ἐκρίθη κατάλληλος, ἔνθα ὑπάρχει ἡ ἀσκητικὴ αὐτοῦ παλαίστρα, ἥτις παρ' αὐτοῦ Ἐγκλείστρα κέκληται. Ἐνταῦθα εὑρὼν ἀπόκρημνον σπήλαιον, ἐνεκλείσθη ἐν αὐτῷ, ἐξ οὗ καὶ ἔγκλειστος ὠνομάσθη καὶ ὁ χῶρος Ἐγκλείστρα. Ὧδε ἀγωνιζόμενος ἀσκητικῶς ἐν σκληρᾷ ἀσκήσει καὶ ἀγρυπνίᾳ καὶ προσευχῇ, κατέστη κατοικητήριον τοῦ Ἁγίου Πνεύματος, καὶ τύπος καὶ κανὼν τοῖς φοιτηταῖς αὐτοῦ, συνθέμενος λόγους ἐν πολλῇ καλλιεπείᾳ καὶ χάριτι. Καὶ οὕτως ἀγγελικῶς βεβιωκώς, καὶ μέγας ἐν ἀρεταῖς γεγονώς, ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς, τὰ γέρα τῶν καμάτων παρὰ Χριστοῦ κομιζόμενος, τὸ δὲ τίμιον αὐτοῦ λείψανον κατετέθη ἐν λαξευτῷ τάφῳ, ἔνδον τῆς ἑαυτοῦ Ἐγκλείστρας, παρὰ τῶν μαθητῶν αὐτοῦ.

Παρῳχηκότων δὲ χρόνων ἱκανῶν, ἠγνοήθη ὁ τάφος τοῦ Ἁγίου, ἐπελθουσῶν ὀλεθρίων ἐπιφορῶν, ἀλλ' ἐν ἔτει ͵αψν'. (1750), κη' Σεπτεμβρίου μηνὸς, ἔκ τινος συμβάντος, ἀνεκαλύφθη ὁ ἱερὸς τοῦ Ὁσίου τάφος, καὶ ἀνεκομίσθησαν ἐκεῖθεν τὰ μυρίπνοα λείψανα, ἃ καὶ ἀπετέθησαν ἐν τῷ μεγάλῳ ναῷ τῆς ἁγίας Ἐγκλείστρας, ἁγιασμὸν καὶ ἰάματα πηγάζοντα τοῖς εὐλαβῶς προσερχομένοις.

www.tezaurliturgic.ro


Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Νοῦν θεόσοφον, καὶ γλῶσσαν θεοκίνητον, Πάτερ κτησάμενος, λόγους πηγάζεις ζωῆς, καὶ θεῖα διδάγματα, πάντας εὐφραίνοντα, τοὺς κραυγάζοντας· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὅλος ἔνθεος, καὶ πλήρης θείου Πνεύματος, ὤφθης Νεόφυτε, ἐν τῇ Ἐγκλείστρᾳ τῇ σῇ, παιδεύων τοῖς κρείττοσι, τούς πίστει ψάλλοντας· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεός εὐλογητὸς εἶ.

Σοῦ τὰ πάντιμα, καταπλουτοῦντες λείψανα, Πάτερ Νεόφυτε, ὡς θησαυρὸν ἀληθῆ, θερμῶς ἐκβοῶμέν σοι· Σκέπε ἑκάστοτε, ταῖς πρεσβείαις σου, τὴν σὴν πατρίδα Ἅγιε, καὶ τὴν θείαν σου Ἐγκλείστραν.

**Θεοτοκίον.**

Γένος ὕψωται, τῇ σῇ γεννήσει Ἄχραντε, φθορᾶς τὸ βρότειον· σὺ γὰρ τὸν πάντων Θεόν, ἐκύησας σώζοντα, τοὺς πίστει ψάλλοντας· χαῖρε Δέσποινα, Ἀγγέλων ἡ βασίλισσα, καὶ βροτῶν ἡ σωτηρία.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ἔλαμψας ἐν Κύπρῳ θεοφόρε, ἀσκήσει καὶ διδαχαῖς θείαις Νεόφυτε, ὥσπερ ἄστρον ἄδυτον, καὶ πυρσεύεις ἅπασαν, τὴν Ἐκκλησίαν Πνεύματι πιστῶς κραυγάζουσαν. Τόν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥήσεσι τῶν θείων σου χειλέων, σταζούσαις τὴν οὐρανίαν ἀγαλλίασιν, καὶ συνθήκῃ Ὅσιε, τῶν πανσόφων λόγων

www.tezaurliturgic.ro

σου, καρπούμεθα τὰ κρείττονα ὑμνολογοῦντές σε· σοφίας γὰρ πλησθεὶς θεοσδότου, ῥήτωρ θεοφόρος, ὡς ἀληθῶς ἐδείχθης.

Ἅπασαν τὴν αἴσθησιν παμμάκαρ, ἀσκήσει συντονωτάτῃ ὑπερβέβηκας, καὶ νοῒ θεόφρονι, τῷ Θεῷ ὡμίλησας, ὑφ' οὗ μυσταγωγούμενος τὰ ὑπὲρ ἔννοιαν, ἐδέξω ἐν καρδίᾳ σου χῦμα, γνώσεως ἐνθέου, καὶ θεϊκῆς σοφίας.

**Θεοτοκίον.**

Σάρκα λογικὴν Ἁγνὴ καί ἔννουν, ὁ Λόγος ὁ Ὑπερούσιος δι' ἔλεος, ἐκ σοῦ μορφωσάμενος, ὤφθη ὥσπερ ἄνθρωπος, μὴ ἀποστὰς τῆς φύσεως, Πατρὸς Πανάχραντε, καὶ ἔλυσε βροτῶν τὴν κατάραν, καὶ ἡμᾶς προσάγει, Πατρὶ δι' εὐσπλαγχνίαν.

**Ὠδὴ θ'. Ἅπας γηγενής.**

Ἴσχυσας σαφῶς, ῥοπῇ θείου Πνεύματος ἐνδυναμούμενος, πολιτείαν ἔγκλειστον, ἐν στενωτάτῳ ἄντρῳ Νεόφυτε, ἀνῦσαι ὡς ἀσώματος, πόθῳ τοῦ Κτίστου σου· ὅθεν δόξης, τῆς ὑπὲρ κατάληψιν, μετὰ τέλος τὸ θεῖον ἠξίωσαι.

Μέγας ἀληθῶς, ἐν πόνοις ἀσκήσεως, ὤφθης Νεόφυτε, καὶ μειζόνων ἔτυχες, παρὰ Κυρίου ἐπάθλων Ὅσιε· ὅθεν ἡ Κύπρος γάνυται ἡ σὲ βλαστήσασα, ἡ Χριστοῦ δέ, Ἐκκλησία ἅπασα, ὡς λαμπρὸν ἑωσφόρον γεραίρει σε.

Ὄμβρησον ἡμῖν, πρεσβείαις σου Ἅγιε, χάριν σωτήριον, καὶ τὴν τῶν Λευκάρων δὲ, ἐξ ἧς ἐφύης σκέπε κωμόπολιν, τῇ δὲ Ἐγκλείστρᾳ βράβευε τὴν προστασίαν σου, τὴν δὲ Κύπρον, πᾶσαν καὶ Ἑλλάδα δέ, χαλεπῶν συμφορῶν ῥύου πάντοτε.

**Θεοτοκίον.**

Ὕψιστον Θεόν, τεκοῦσα ἐν σώματι τὸν ἀπερίγραπτον, κόσμον ἀνυψώσαντα, ἐκ τῆς ἀρχαίας ἀρᾶς Πανάμωμε, ἀνύ-

www.tezaurliturgic.ro

ψωσόν με δέομαι πρὸς βίον κρείττονα, τῶν παθῶν μου, λύουσα τὴν ζόφωσιν, οἷα Μήτηρ Κυρίου φιλάγαθος.

**Ἐξαποστειλάριον: Τοῖς Μαθηταῖς συνέλθωμεν.**

Ἀγγελικῶς ἐβίωσας, στενωτάτῳ ἐν ἄντρῳ, καὶ ἔγκλειστος ὠνόμασαι, καταλλήλως τῷ τρόπῳ, Νεόφυτε θεοφόρε, Μοναζόντων ἀκρότης, καὶ σκήνωμα περίβλεπτον, τῆς Ἁγίας Τριάδος ἀναδειχθείς, τοῖς Ἀγγέλων τάξεσι συναγάλλῃ, ὑπὲρ ἡμῶν δεόμενος, τῶν τιμώντων σε Πάτερ.

**Θεοτοκίον.**

Ἄνευ σπορᾶς συνέλαβες, τὸν Ὑπέρθεον Λόγον, ἄνευ φθορᾶς δὲ τέτοκας, τοῦτον ἀνερμηνεύτως, καὶ μετὰ τόκον παρθένος, ἔμεινας ὡς πρὸ τόκου, Θεογεννῆτορ Δέσποινα· ἀκατάληπτα ὄντως πάντα τὰ σά! ὅθεν τὰ παράδοξα μεγαλεῖα, τῆς ἀπορρήτου δόξης σου, δοξάζομεν Θεοτόκε.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Ὅσιε Πάτερ Νεόφυτε, ἀπὸ παιδὸς τὸν Χριστόν, ὁλοτρόπως ἠγάπησας, καὶ αὐτοῦ τοῖς ἴχνεσιν, ἀκλινῶς ἠκολούθησας· ὅθεν ἰσάγγελον βίον ἔζησας, καὶ χαρισμάτων θείων τετύχηκας· ὢ τῶν ἀγώνων σου! δι᾽ ὧν καταβέβληκας, τοῦ δυσμενοῦς, ἅπασαν τὴν δύναμιν, ῥοπῇ τῇ ἄνωθεν.

www.tezaurliturgic.ro

Ὅσιε Πάτερ Νεόφυτε, κόσμου μακρύνων παντός, οὐρανίῳ φρονήματι, σεαυτὸν κατέκλεισας, θείῳ πόθῳ ρωννύμενος, ἐν στενωτάτῳ σπηλαίῳ Ἅγιε, πρὸς ἀπαθείας πλάτος ὑψούμενος, τοῖς μακαρίοις σου, πόνοις τῆς ἀσκήσεως, καὶ ἀρετῶν, ἤρθης πρός ἀκρώρειαν, καθάπερ ἄσαρκος.

Πάτερ θεόφρον Νεόφυτε, οἷά περ ἄνθος τερπνόν, ἐκ Λευκάρων ἐβλάστησας, καὶ πάντας κατηύφρανας, τοῖς ὁσίοις καμάτοις σου· ὅθεν πατρίς σου ἐν τοῖς σπαργάνοις σου, καί τοῖς ἁγίοις σου προτερήμασι, χαίρει καὶ γάνυται, καὶ πανηγυρίζει σου, τὴν ἱεράν, μνήμην καὶ σεβάσμιον, Χριστόν δοξάζουσα.

Πάτερ παμμάκαρ Νεόφυτε, ἡ σὴ Ἐγκλείστρα σκιρτᾷ, καὶ χορεύει τῷ πνεύματι, τῇ εὑρέσει Ἅγιε, τῶν ἁγίων λειψάνων σου, καὶ συγκαλεῖται τὴν Κύπρον ἅπασαν, πανηγυρίσαι τὴν θείαν μνήμην σου· ᾗ αἴτει πάντοτε, φωτισμόν καὶ ἴασιν, καὶ δυσχερῶν, πάντων ἀπολύτρωσιν, ὡς συμπαθέστατος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τοῖς ἀσκητικοῖς σου σκάμμασι, ἐκκαθάρας τὸν νοῦν, τῷ Χριστῷ εὐηρέστησας, Ὅσιε Πάτερ Νεόφυτε· καὶ παρ' αὐτοῦ παντοδαπαῖς, ἀγλαϊσθεὶς δωρεαῖς, τύπος ἐναπέφηνας ὁσίων ἔργων, καὶ ἀσκητικῆς ἀγωγῆς, τῇ σῇ πολιτείᾳ λύχνος φαεινός. Διὸ ἡ σὴ Ἐγκλείστρα, κηρύττει τοὺς ἀγῶνάς σου, καὶ ἅπασα ἡ Κύπρος καυχᾶται τῇ δόξῃ σου, καὶ ἐξαιρέτως τὰ Λεύκαρα, ἡ σὲ ἐνεγκαμένη κωμόπολις· αἷς αἴτει παρὰ Κυρίου, τὴν θείαν εὐλογίαν, καὶ τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ Ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ**

www.tezaurliturgic.ro

# Εἰς τὴν Θείαν Λειτουργίαν

Τὰ συνήθη. Ἀπόστολον καὶ Εὐαγγέλιον τὸ ἐν τῷ ὄρθρῳ τοῦ Ἁγίου Σάββα, ε΄. Δεκεμβρίου.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον....

Μεγαλυνάρια.

Χαίροις τῶν Λευκάρων θεῖος βλαστός, καὶ τῆς Κύπρου πάσης, ἐγκαλλώπισμα ἱερόν· χαίροις τῆς Ἐγκλείστρας, δομήτωρ καὶ προστάτης, Ἀγγέλων συμπολῖτα, Πάτερ Νεόφυτε.

Χαίρει ἐν σοὶ Κύπρος ἡ σὴ πατρίς, ἐξαιρέτως Πάτερ, ἡ Ἐγκλείστρα σου ἡ σεπτή, ἔνθα τοὺς μεγίστους, διήνυσας ἀγῶνας, ἣν φρούρει ἀοράτως, σοφὲ Νεόφυτε.

Δίστιχον

Νεόφυτε Ὅσιε ἡγιασμένε
Γερασίμου πρόσδεξαι τὴν ὑμνῳδίαν.

www.tezaurliturgic.ro

# Κανὼν Παρακλητικὸς

## Εἰς τὸν

## Ὅσιον καὶ Θεοφόρον

## Πατέρα ἡμῶν

## Νεόφυτον τὸν Ἔγκλειστον

## τὸν ἐν Κύπρῳ διαλάμψαντα

Ποίημα

Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου



www.tezaurliturgic.ro

# Κανὼν Παρακλητικὸς εἰς τὸν Ὅσιον καὶ Θεοφόρον Πατέρα ἡμῶν Νεόφυτον τὸν Ἔγκλειστον, τὸν ἐν Κύπρῳ διαλάμψαντα.

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως καὶ τὸ ἑξῆς:**

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῆς ἀϊδίου εὐφροσύνης μετέχων, ὥσπερ θεράπων τῆς Ἁγίας Τριάδος, καὶ τῶν Ἀγγέλων σύσκηνος Νεόφυτε, πρέσβευε δεόμεθα, τῷ Δεσπότῃ τῶν ὅλων, πάσης ἡμᾶς ῥύεσθαι, συμφορᾶς καὶ ἀνάγκης, καὶ τῶν πταισμάτων δοῦναι ἱλασμόν, τοῖς ἀδιστάκτῳ, ψυχῇ προσιοῦσί σοι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὁ Ν'. καὶ ὁ Κανὼν οὗ ἡ ἀκροστιχίς:**
**«Σκέπε Νεόφυτε σοὺς ἱκέτας. Γερασίμου».**

www.tezaurliturgic.ro

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Στενούμενος πάθεσι χαλεποῖς, πρὸς σὲ καταφεύγω, καὶ κραυγάζω σοι ἐκ ψυχῆς, Νεόφυτε Πάτερ θεοφόρε, τῆς ἐπελθούσης με θλίψεως λύτρωσαι.

Κακίας με πάσης τοῦ δυσμενοῦς, ἀπάλλαξον Πάτερ, τῇ πρεσβείᾳ σου πρὸς Χριστόν, καὶ ἤρεμον βίον μοι παράσχου, οἷα θερμός μου προστάτης Νεόφυτε.

Ἐν πάσῃ ἀνάγκῃ καὶ συμφορᾷ, πρὸς σὲ καταφεύγω, καὶ εὑρίσκω ἀναψυχήν, Νεόφυτε Πάτερ θεοφόρε, καὶ χαριστήριον ὕμνον προσᾴδω σοι.

**Θεοτοκίον.**

Πηγὴ εὐσπλαγχνίας τῆς θεϊκῆς, Πανύμνητε Κόρη, ξηρανθεῖσάν μου τὴν ψυχήν, πολλαῖς ἁμαρτίαις δυσωπῶ σε, πρὸς ἀρετῶν εὐκαρπίαν κατάρδευσον.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἐν τῇ σῇ προστασίᾳ, διὰ παντὸς σπεύδοντες πάσης ἐπηρείας καὶ βλάβης, ἀπαλλαττόμεθα, τοῦ πολεμήτορος, οὗ τῆς κακίας ἀτρώτους, φύλαττε Νεόφυτε, ἡμᾶς ἑκάστοτε.

Νοσημάτων παντοίων, καὶ πειρασμῶν Ἅγιε, καὶ δυσχερειῶν τῶν ἐν βίῳ, ταῖς ἱκεσίαις σου, ῥύου δεόμεθα, τοὺς καταφεύγοντας πίστει, τῇ σεπτῇ πρεσβείᾳ σου, καὶ σὲ γεραίροντας.

Ἐν ἀσκήσει ἐκλάμψας, ὡς φωταυγὴς ἥλιος, λῦσον τῶν παθῶν μου τὸν ζόφον, Πάτερ Νεόφυτε, ταῖς φωτοφόροις σου, πρὸς τὸν Δεσπότην πρεσβείαις, καὶ τῆς μετανοίας με, φωτὶ καταύγασον.

**Θεοτοκίον.**

Ὁ περίδοξος θρόνος, καὶ χρυσαυγὴς Ἄχραντε, τοῦ Παμβασιλέως τῆς δόξης, καὶ Παντοκράτορος, ἔγειρον δέομαι, ἐκ τοῦ

www.tezaurliturgic.ro
βυθοῦ τῶν παθῶν με, καὶ πταισμάτων ἄφεσιν, αἴτει καὶ σῶσόν με.

Διάσωσον ταῖς σαῖς πρεσβείαις Νεόφυτε θεοφόρε, τῶν ἐν βίῳ πολυειδῶν περιστάσεων, τοὺς ἐκζητοῦντας τὴν θείαν σου προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ.....

**Αἴτησις καὶ τὸ Κάθισμα.**

**Ἦχος β΄. Πρεσβεία θερμή.**

Πρεσβείαν τὴν σήν, ὡς ὀχυρὸν προπύργιον, καὶ σκέπην στερράν, κατέχοντες Νεόφυτε, ἁπάσας ἐκκρουόμεθα, τὰς ὁρμὰς καθ' ἡμῶν τοῦ ἀλάστορος· ἀλλὰ μὴ παύσῃ Χριστὸν δυσωπεῖν, διδόναι ἡμῖν πταισμάτων ἄφεσιν.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Φωτισμὸν ἡμῖν αἴτησαι, καὶ παραπτωμάτων Πάτερ συγχώρησιν, τοῖς προστρέχουσι Νεόφυτε, τῇ συμπαθεστάτῃ προστασίᾳ σου.

Ὑπελθὼν τῆς ἀσκήσεως, Πάτερ τὸν ἀγῶνα στερρῷ φρονήματι, βοηθὸς καὶ θεῖος ἔφορος, παρὰ τοῦ Σωτῆρος ἡμῖν δίδοσαι.

Τὴν ἁγίαν Ἐγκλείστραν σου, σκέπε τῇ θερμῇ σου πρεσβείᾳ Ὅσιε, καυχωμένην τῇ σῇ χάριτι, καὶ τοὺς σοὺς ἀγῶνας μακαρίζουσαν.

**Θεοτοκίον.**

Ἐκ τῆς μήτρας σου ἔλαμψε, τῆς δικαιοσύνης Κόρη ὁ Ἥλιος, καὶ τὸν κόσμον κατεφώτισε, τῆς θεογνωσίας ταῖς ἐλλάμψεσιν.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Σύντριψον σοφέ, τῇ ἰσχύϊ τῆς πρεσβείας σου, τὸν μαινόμενον Βελίαρ καθ' ἡμῶν, καὶ εἰρήνην ἡμῖν αἴτει ἀστασίαστον.

www.tezaurliturgic.ro


Ὅρμος γαληνός, τοῖς ἐν βίῳ θαλαττεύουσιν, ἡ πρεσβεία σου γενέσθω ἀληθῶς, τοῖς προστρέχουσι τῇ σκέπῃ σου Νεόφυτε.

Ὕψωσον ἡμᾶς, ἐκ βυθοῦ παθῶν καὶ θλίψεων, ἐπὶ πέτραν προσταγμάτων θεϊκῶν, σωτηρίαν ὡς ἂν εὕρωμεν Νεόφυτε.

**Θεοτοκίον.**

Σάρκα προσλαβών, ἐξ αἱμάτων σου ὁ ἄσαρκος, Θεὸς Λόγος Θεοτόκε ἀληθῶς, τοῖς ἀνθρώποις σωτηρίαν ἐδωρήσατο.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἰάτρευσον, τῆς ψυχῆς μου τὸ ἄλγος, καὶ τοῦ σώματος τὰ πάθη παμμάκαρ, τῇ δεδομένῃ σοι χάριτι θείᾳ, πνευματοφόρε Νεόφυτε Ὅσιε, καὶ ἀποδίωξον μακρὰν, ἀπ' ἐμοῦ τὸν παμβέβηλον δράκοντα.

Κυμάτων, τῶν νοουμένων τὸν σάλον, ἀπειλούντων μοι ἀπώλειαν Πάτερ, κόπασον θᾶττον τῇ σῇ ἀντιλήψει, καὶ πρὸς λιμένα με θεῖον κυβέρνησον, τῶν θελημάτων τοῦ Θεοῦ, θεοφόρε Νεόφυτε Ὅσιε.

Ἐκβλύζει, τῶν ἰαμάτων τὴν χάριν, ἡ ἁγία σου σορὸς ἐν Ἐγκλείστρᾳ· ὅθεν οἱ ταύτῃ πιστῶς προσιόντες, πάσης λυτροῦνται ταχέως κακώσεως, Νεόφυτε Πάτερ σοφέ, καὶ ὡς θεῖον προστάτην ὑμνοῦσί σε.

**Θεοτοκίον.**

Τὸν πάντων, Δημιουργὸν καὶ Δεσπότην, σωματώσασα ἀτρέπτως Παρθένε, σωματικῶν ἡμᾶς λύτρωσαι πόνων, καὶ ψυχικῶν νοσημάτων καὶ θλίψεων, καὶ καθοδήγησον ἡμᾶς, πρὸς λιμένα τοῦ θείου θελήματος.

Διάσωσον ταῖς σαῖς πρεσβείαις Νεόφυτε θεοφόρε, τῶν ἐν βίῳ πολυειδῶν περιστάσεων, τοὺς ἐκζητοῦντας τὴν θείαν σου προστασίαν.

www.tezaurliturgic.ro

Ἄχραντε, ἡ διά λόγου....

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου ῥείθροις.**

Ἐν τῇ Ἐγκλείστρᾳ βιώσας ὡς Ἄγγελος, ἀγγελικῶν χαρισμάτων ἠξίωσαι, καὶ πᾶσι παρέχεις τὰ πρόσφορα, τοῖς προσιοῦσι τῇ θείᾳ πρεσβεία σου· διό σε ὑμνοῦμεν Νεόφυτε.

**Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Στίχ.:** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον....

**Εὐαγγέλιον κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱόν, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....**

**Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.**

**Στίχ.:** Ἐλέησόν με ὁ Θεός...

Βίον τὸν ἰσάγγελον, ἐν τῇ Ἐγκλείστρᾳ ἀνύσας, δωρεῶν τοῦ Πνεύματος, Ὅσιε Νεόφυτε πλήρης γέγονας, καὶ πληροῖς πάντοτε, ἡμῶν τὰς δεήσεις· διὰ τοῦτο σοῦ δεόμεθα· ῥύου ἑκάστοτε, πάσης συμφορᾶς καὶ κακώσεως, καὶ πειρασμῶν καὶ θλίψεων, τοὺς εἰλικρινῶς σε γεραίροντας, ἄφεσιν πταισμάτων,

www.tezaurliturgic.ro

αἰτούμενος ἡμῖν καὶ φωτισμόν, παρὰ Χριστοῦ τοῦ Παντάνακτος, καὶ ζωήν ἡσύχιον.

**Ὁ Ἱερεύς:** Σῶσον ὁ Θεός τὸν λαόν σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ασθενοῦσι τὴν ῥῶσιν, καὶ τοῖς πάσχουσιν αἴτει Πάτερ τὴν ἴασιν, καὶ λύτρωσαι κινδύνων, καὶ πάσης καχεξίας, τοὺς βοῶντας Νεόφυτε· ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητὸς εἶ.

Σὲ σοφὸν κυβερνήτην, πρὸς ὁδὸν σωτηρίας ἔχοντες Ὅσιε, βοῶμεν ἐκ καρδίας· ὁδήγει ἀοράτως, πρὸς ζωῆς καθαρότητα, Νεόφυτε ἱερέ, τοὺς σὲ ὑμνολογοῦντας.

Γεωργεῖν ἡμῖν δίδου, τοῦ Κυρίου τὸν φόβον ἰσχὺν Νεόφυτε, ὡς ἂν εὐαρεστοῦντες, Χριστῷ ἐν ἀληθείᾳ, ὁμοφώνως κραυγάζωμεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ἐκ πικρᾶς συνηθείας, καὶ ῥοπῆς πρὸς τὰ χείρω ῥῦσαί με Δέσποινα, καὶ ἴθυνον τὸν νοῦν μου, πρὸς γνῶσιν μετανοίας, ἵνα πίστει κραυγάζω σοι· χαῖρε Παρθένε Ἁγνή, βροτῶν ἡ σωτηρία.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ῥείθροις παμμάκαρ, τῶν πρεσβειῶν σου τὴν φλόγα, ἐναπόσβεσον παθῶν τῶν τῆς ψυχῆς μου, ὡς θεῖός μου προστάτης, Νεόφυτε θεόφρον.

Ἄνωθεν Πάτερ, ἴδε τοὺς πίστει ἑστῶτας, τῇ Εἰκόνι σου Νεόφυτε τῇ θείᾳ, καὶ παράσχου τούτοις, ἃ εὐλαβῶς αἰτοῦσι.

Σκέπε καὶ φρούρει, σὺν τῇ Πατρίδι σου Πάτερ, τὴν Ἐγκλείστραν σου ἐκ πάσης ἐπηρείας, τὴν ἀνακειμένην, τῇ θείᾳ σου πρεσβείᾳ.

www.tezaurliturgic.ro 

**Θεοτοκίον.**

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ παράσχου μοι μετάνοιαν γνησίαν, ἵνα σὲ δοξάζω, Ὑπερδεδοξασμένη.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Μονὰς τὰς οὐρανίους, κατοικῶν παμμάκαρ, δέχου ἡμῶν τὰς δεήσεις Νεόφυτε καὶ τὰ αἰτήματα πάντων πλήρου δεόμεθα.

Ὁ μέγας τῶν Κυπρίων, ἀρωγὸς καὶ ῥύστης, καὶ πρεσβευτὴς πρὸς Θεὸν ἑτοιμότατος, Πάτερ Νεόφυτε σκέπε ἡμᾶς ἑκάστοτε.

Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον θεοφόρε, χαμαιπετοῦς προσπαθείας Νεόφυτε, καὶ ἐν παντί μου προΐστασο τοῦ ὑμνοῦντός σε.

**Θεοτοκίον.**

Ὑμνοῦμεν σε Παρθένε, καὶ δοξολογοῦμεν, τὸν ἀκατάληπτον τόκον σου κράζοντες· χαῖρε ἡμῶν προστασία καὶ καταφύγιον.

**Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.**

Χαίροις τῶν Λευκάρων γόνος σεπτός, καὶ τῆς Κύπρου πάσης, λαμπαδοῦχος ὁ φαεινός· χαίροις τῆς Ἐγκλείστρας, ὁ μέγας ἑωσφόρος, Νεόφυτε παμμάκαρ, ἀξιοθαύμαστε.

Χαίρων ἐκ νεότητος τῷ Χριστῷ, Πάτερ ἀνετέθης, καταλείψας τὰ γεηρά, καὶ ὁσίοις πόνοις, αὐτῷ εὐαρεστήσας, Νεόφυτε τῆς ἄνω, δόξης ἠξίωσαι.

Πόθῳ τετρωμένος τῷ θεϊκῷ, σαυτὸν ἐν σπηλαίῳ, περιέκλεισας ἀληθῶς, ὅπερ καὶ Ἐγκλείστραν, Νεόφυτε καλέσας, δοχεῖον ἀνεδείχθης, τοῦ θείου Πνεύματος.

www.tezaurliturgic.ro



Ὄλβον ὡς θεόσδοτον καὶ σεπτόν, τὴν τῶν σῶν λειψάνων, κεκτημένη θείαν σορόν, Πάτερ ἡ Ἐγκλείστρα, πληροῦται εὐφροσύνης, Νεόφυτε καὶ σπεύδει τῇ προστασίᾳ σου.

Ὄργανον τοῦ Πνεύματος μυστικόν, Νεόφυτε ὤφθης, καὶ ἀνέβλυσας θησαυρόν, θείων διδαγμάτων, δι' ὧν ἡμᾶς παιδεύεις, πρὸς τρίβους σωτηρίας, ὡς ἐνθεώτατος.

Πάσης ἐπηρείας τοῦ δυσμενοῦς, φύλαττε ἀτρώτους, ἀντιλήψει σου τῇ θερμῇ, Νεόφυτε Πάτερ, τοὺς σὲ ὑμνολογοῦντας, καὶ αἴτει ἡμῖν πᾶσι, πταισμάτων ἄφεσιν.

**Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς**
**καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς.**

**Ἦχος β'.** Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προσπίπτοντας πιστῶς, τῇ σῇ προστασίᾳ καὶ σκέπῃ, Πάτερ Νεόφυτε, πάσης ἀπολύτρωσαι ὀργῆς καὶ θλίψεως, καὶ πταισμάτων συγχώρησιν, αἴτει ἡμῖν πᾶσι, καὶ πάσης στενώσεως τὴν ἀπολύτρωσιν· σὺ γὰρ ἀρωγὸς ἡμῶν πέλεις, καὶ πρὸς τὸν Χριστὸν θερμὸς πρέσβυς, ὃν τῇ σῇ ἀσκήσει ἐθεράπευσας.

**Δίστιχον.**
**Δέχου τὴν ἱκέσιον φωνὴν ὦ Πάτερ**
**Ἣν σοι ὁ Γεράσιμος νῦν ἀναπέμπει.**

www.tezaurliturgic.ro

# Οἶκοι εἰκοσιτέσσαρες τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

**Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.**

Ὡς ἐν σπηλαίῳ σεαυτὸν ἐγκλείσας Ὅσιε
Τοῦτο Ἐγκλείστραν ἁρμοζόντως προσωνόμασας
Καὶ ἰσάγγελον διήνυσας πολιτείαν.
Ἀλλ' ὡς χάριτος τῆς θείας ἐνδιαίτημα
Πάσης βλάβης ταῖς πρεσβείαις σου ἀπάλλατε
τοὺς βοῶντάς σοι, χαίροις Πάτερ Νεόφυτε.

Ἄγγελος ἐν ἀσκήσει, τῇ Ἐγκλείστρᾳ ἐδείχθης, Νεόφυτε Κυπρίων φαιδρότης· (ἐκ γ') καὶ τῇ ἀγγελικῇ σου ζωῇ, ἀγγελικῶν δωρεῶν κατετρύφησας, δι' ὧν εὐφραίνεις ἅπαντας, τοὺς ἐκβοῶντας σοι τοιαῦτα·

Χαῖρε δι' οὗ ἀρετὴ ἐκλάμπει
χαῖρε δι' οὗ ὁ ἐχθρὸς στενάζει

www.tezaurliturgic.ro


χαῖρε τῶν τοῦ κόσμου ἡδέων ἀπάρνησις
χαῖρε τῆς ἀγάπης τῆς θείας κατάκτησις
χαῖρε ὕψος καθαρότητος καὶ ζωῆς ἀγγελικῆς
χαῖρε βάθος θείας γνώσεως ὡς θεόφρον ἀσκητὴς
χαῖρε ὅτι γηΐνων λογισμῶν ἐχωρίσθης
χαῖρε ὅτι τῷ θείῳ φωτισμῷ ἐλαμπρύνθης
χαῖρε Θεοῦ θεράπων θερμότατος
χαῖρε λαμπτὴρ τῆς Κύπρου θεόφωτος
χαῖρε δι' οὗ Μονασταὶ κραταιοῦνται
χαῖρε δι' οὗ εὐσεβεῖς φωταυγοῦνται

**Χαίροις Πάτερ Νεόφυτε.**

Βίου τοῦ ἐπιγείου, νουνεχῶς ἐννοήσας, τὸ μάταιον νοῒ θεολήπτῳ, κατέλιπες τὰ πάντα σοφῶς, τῶν ἄνω ἐπιτυχεῖν ἐφιέμενος, καὶ τῷ Χριστῷ ἑπόμενος, εὐλαβῶς Πάτερ ἀνεβόας·

**'Αλληλούϊα.**

Γένους καὶ προσηκόντων, ἀπηρνήσω τὴν σχέσιν, πτερούμενος τῇ θείᾳ ἀγάπῃ, καὶ λάθρα μακρυνθεὶς ἐξ αὐτῶν, τοῦ Χρυσοστόμου τὴν Μονὴν κατέλαβες· διό σε μακαρίζοντες, ἀναβοῶμέν σοι τοιαῦτα·

χαῖρε γηΐνων ὁ ὑπερόπτης
χαῖρε ἀΰλου φωτὸς ἐπόπτης
χαῖρε γεηρῶν φρονημάτων ὑπέρτερε
χαῖρε ἱερῶν χαρισμάτων συμμέτοχε
χαῖρε ἄνθος εὐωδέστατον τῆς ἀγάπης τοῦ Χριστοῦ
χαῖρε μάχαιρα ἡ δίστομος κατ' ἀπάτης τοῦ ἐχθροῦ
χαῖρε ὅτι ἠρνήσω τῶν οἰκείων τὴν σχέσιν
χαῖρε ὅτι ἐδέξω τὴν τοῦ Πνεύματος αἴγλην
χαῖρε θεσμῶν τῆς ὕλης ἀνώτερε
χαῖρε καρπῶν ἀΰλων ἀνάπλεε
χαῖρε πυρὸς ζωηφόρου δοχεῖον
χαῖρε φωτὸς ἀπαθείας ταμεῖον.

**Χαίροις Πάτερ Νεόφυτε.**

Δύναμιν θείαν ἔσχες, καὶ παιδείας μετέσχες, τῆς θύραθεν καὶ θείας θεόφρον, ἐν τῇ τοῦ Χρυσοστόμου Μονῇ, νουνεχῶς παιδευόμενος τὰ κρείττονα· τοῖς πόνοις ἐνετρύφας γάρ, τοῖς θείοις Νεόφυτε ψάλλων·

**Ἀλληλούϊα.**

Ἔδραμες μετὰ πόθου, εἰς τόπους τούς ἁγίους, Ἁγίων ἀνιχνεύων τὰ ἴχνη, καὶ προσκυνήσει τῇ εὐλαβεῖ, τῶν σεπτῶν ἁγιασμάτων ἡγίασαι, ἁγιασμὸν δωρούμενος, Νεόφυτε τοῖς ἐκβοῶσι·

χαῖρε Ὁσίων τῶν πάλαι τύπος
χαῖρε τῆς Κύπρου πάμφωτος λύχνος
χαῖρε Ἀσκητῶν τῶν ἀρχαίων ὁμόζηλε
χαῖρε τῶν Ὁσίων Πατέρων ἰσότιμε
χαῖρε κλῆμα εὐφορώτατον πόνων τῶν ἀσκητικῶν
χαῖρε στήλη θεοτύπωτος οὐρανίων ἀρετῶν
χαῖρε ὅτι παιδείας ἠξιώθης τῆς κάτω
χαῖρε ὅτι σοφίας ἐπληρώθης τῆς ἄνω
χαῖρε Χριστοῦ βαδίσας τοῖς ἴχνεσι
χαῖρε πιστοὺς πυρσεύων τοῖς ῥήμασι
χαῖρε παθῶν διαλύων τὸν ζόφον
χαῖρε ἡμῖν ἐντιθεὶς θεῖον φόβον

**Χαίροις Πάτερ Νεόφυτε.**

Ζηλωτὴς θεῖος πέλων, τῶν Ὁσίων Πατέρων, αὐτῶν τὰς ἀρετὰς ἐμιμήσω, καὶ ἐν τῇ Κύπρῳ ἐπανελθὼν ἐν ἀπερήμῳ τόπῳ κατεσκήνωσας, Κυρίῳ ἀναγόμενος, δι᾽ ἡσυχίας ἐν τῷ ψάλλειν·

**Ἀλληλούϊα.**

Ἤρθης πρὸς θεῖον ὕψος, σεαυτὸν ἐν σπηλαίῳ, ἐγκλείσας ἠλιβάτῳ θεόφρον, καὶ σκήνωμα θεῖον καὶ σεπτόν, τῆς Παναγίας Τριάδος γεγένησαι, Νεόφυτε μακάριε, τοὺς ἐκβοῶντάς σοι φαιδρύνων·

χαῖρε ὁ ἄσαρκος ἐν ἀσκήσει

 www.tezaurliturgic.ro

χαῖρε ὁ ἔνθεος ἐν φρονήσει
χαῖρε τῆς Τριάδος λαμπρότατον σκήνωμα
χαῖρε τῶν Ἀγγέλων θεόσοφον μίμημα
χαῖρε ὕψος τῆς ἀσκήσεως καί ἀγώνων πρακτικῶν
χαῖρε βάθος τῆς συνέσεως καὶ ἁγίων δωρεῶν
χαῖρε ὅτι ἐκλείσθης στενοτάτῳ ἐν ἄντρῳ
χαῖρε ὅτι ἐπήρθης πρὸς οὐράνιον πλάτος
χαῖρε ἐχθροῦ συντρίψας τὸ φρύαγμα
χαῖρε ψυχῶν ἰώμενος σύντριμμα
χαῖρε ζωῆς ἐναρέτου λυχνία
χαῖρε ἡμῶν μυστικὴ δαδουχία.

**Χαίροις Πάτερ Νεόφυτε.**

Θεῖον τόπον εἰργάσω, καὶ ἁγίαν παλαίστραν, Νεόφυτε ὁσίων καμάτων, τὸ σπήλαιόν σου τὸ ἱερόν, ὃ καὶ Ἐγκλείστραν προσφυῶς ὠνόμασας· ἐν αὐτῷ γὰρ μακάριε, ἀγωνιζόμενος ἐβόας·

**Ἀλληλούϊα.**

Ἱερεὺς Θεοφόρος, ἐπιπνοίᾳ τῇ θείᾳ, Νεόφυτε σαφῶς ἀνεδείχθης, καὶ τοῦ σοῦ βίου τὰς ἀρετάς, ὡς θυσίαν τῷ Κυρίῳ προσήγαγες, παρ' οὗ καταυγαζόμενος, καταλαμπρύνεις τοὺς βοῶντας·

χαῖρε σοφίας ὁ θείας πλήρης
χαῖρε ἀγάπης διπλῆς ὁ μύστης
χαῖρε ἱερέων σεπτὸν ἐγκαλλώπισμα
χαῖρε τῶν Κυπρίων λαμπρὸν σεμνολόγημα
χαῖρε νοῦς ὁ καθαρώτατος θεωρῶν τὰ ὑπὲρ νοῦν
χαῖρε σκεῦος πολυτίμητον δωρεῶν τῶν τοῦ Θεοῦ
χαῖρε ὅτι ἐπλήσθης οὐρανίου σοφίας
χαῖρε ὅτι ἐκλάμπεις μυστικὰς φωταυγείας
χαῖρε πηγὴ ναμάτων τῆς χάριτος
χαῖρε λαμπτὴρ ἀΰλου ἐκλάμψεως
χαῖρε Ὁσίων Πατέρων τὸ κλέος
χαῖρε Κυπρίων θεόσδοτον εὖχος

**Χαίροις Πάτερ Νεόφυτε.**

Καθαρθεὶς τῶν προσύλων, δι' ἀγώνων ὁσίων, ἐδείχθης Μοναζόντων ἀλείπτης, καὶ ὑπόδειγμα πρὸς ἀρετήν, καὶ Ἐκκλησίας φωστὴρ οὐρανόφωτος, Νεόφυτε μακάριε, καταπυρσεύων τοὺς βοῶντας·

**Ἀλληλούϊα.**

Λάμπων ἐκ τῆς Ἐγκλείστρας, ὡς ἀστὴρ ἑωσφόρος, ἀσκήσει καὶ σοφίᾳ καὶ λόγῳ, καταυγάζεις τὴν Κύπρον σοφέ, καὶ σὺν αὐτῇ τὴν Ἐκκλησίαν ἅπασαν, ἥτις ἀνευφημοῦσά σε, κραυγάζει σοι ἐν εὐφροσύνῃ·

χαῖρε τῆς Κύπρου ὁ ἑωσφόρος
χαῖρε ὁ λύχνος ὁ φωτοφόρος
χαῖρε Ἐκκλησίας ἁπάσης διδάσκαλος
χαῖρε θεοφόρων Πατέρων διάκοσμος
χαῖρε στόμα θεοδίδακτον διδαχῶν πνευματικῶν
χαῖρε γλῶσσα θεοκίνητος ἀναβάσεων σεπτῶν
χαῖρε ὅτι ἐδέξω τῆς σοφίας τὸ δῶρον
χαῖρε ὅτι ἐκφαίνεις σωτηρίας τὸν λόγον
χαῖρε τῆς σῆς Ἐγκλείστρας τὸ καύχημα
χαῖρε σεπτὸν Λευκάρων ἐκβλάστημα
χαῖρε ὁ ῥήτωρ ὁ θεοφόρος
χαῖρε ὁ κῆπος ὁ ἀνθηφόρος

**Χαίροις Πάτερ Νεόφυτε.**

Μάνδραν σου τὴν ἁγίαν, ἣν Ἐγκλείστραν καλοῦμεν, διάσωζε τῇ σῇ προστασίᾳ, ἐκ πάσης ἀπειλῆς ἀσινῆ, ἀνακειμένην θερμῶς τῇ σῇ χάριτι, ἣν πόνοις σου ἡγίασας Νεόφυτε ἀναβοῶσαν.

**Ἀλληλούϊα.**

Νόμοις τῆς ἐγκρατείας, τὴν ζωήν σου ῥυθμίσας, ἐνέκρωσας σαρκὸς τὰς ὀρέξεις, καὶ ἤνθησας ζωῆς τοὺς καρπούς, τῆς ἀϊδίου ἐν Πνεύματι Ὅσιε, δι' ὧν εὐφραίνεις ἅπαντας, τοὺς πόθῳ σοι ἀναβοῶντας.

χαῖρε ἡ στήλη τῆς ἐγκρατείας

www.tezaurliturgic.ro

χαῖρε τὸ κρίνον τῆς ἀπαθείας
χαῖρε θεοφόρε Νεόφυτε Ὅσιε
χαῖρε Ἀσκητὰ οὐρανόφρων καὶ Ἔγκλειστε
χαῖρε ἔμψυχον γεώργιον πράξεων ἀσκητικῶν
χαῖρε ἄρωμα οὐράνιον θεολήπτων καρδιῶν
χαῖρε ὅτι τὸν βίον ἐν σπηλαίῳ διῆλθες
χαῖρε ὅτι τὸ θράσος τοῦ δολίου καθεῖλες
χαῖρε ὀσμὴ ὁσίας ἀσκήσεως
χαῖρε φωστὴρ πλουσίας φρονήσεως
χαῖρε παθῶν ἐκριζῶν τὰς ἀκάνθας
χαῖρε ἠθῶν ἐναρέτων ἀδάμας

**Χαίροις Πάτερ Νεόφυτε.**

Ζενοτρόπως βιώσας, ἐπὶ γῆς Θεοφόρε, ἐγκλείσας σεαυτὸν ἐν σπηλαίῳ, τὸν ἐν τῷ Σπηλαίῳ Σωτῆρα, δι' ἡμᾶς γεννηθέντα ἐθεράπευσας, νηστείαις καί δεήσεσιν, αὐτῷ λατρεύων καὶ κραυγάζων·

**Ἀλληλούϊα.**

Ὅλος ἔνθους ὡράθης, ἐπιπνοίᾳ τῇ θείᾳ, καὶ πόνοις ἐναρέτοις ἐν Κύπρῳ· διὸ Λεύκαρα ἡ σὴ πατρίς, ἐγκαυχᾶται τοῖς σπαργάνοις σου Ὅσιε, καὶ πόθῳ εὐφημοῦσά σε, κραυγάζει σοι ἀγαλλομένη·

χαῖρε Λευκάρων εὐῶδες ἄνθος
χαῖρε τῆς Κύπρου ἁπάσης αὖχος
χαῖρε τῆς ἁγίας Ἐγκλείστρας καλλώπισμα
χαῖρε τῆς ἀγάπης τῆς θείας γεώργημα
χαῖρε ὄργανον θεόπνευστον διδαχῶν πνευματικῶν
χαῖρε τύπωμα θεόγλυπτον οὐρανίων ἐννοιῶν
χαῖρε ὅτι παιδεύεις Μοναστῶν τάς καρδίας
χαῖρε ὅτι καθαίρεις ψυχοφθόρους ἐννοίας
χαῖρε τὸ φῶς ἐκλάμπων τῆς χάριτος
χαῖρε λαμπτὴρ τῆς ἄνωθεν λάμψεως
χαῖρε ψυχῶν ἀποπλύνων τὸν ῥύπον

χαῖρε ἐχθρῶν τὰς ἐφόδους ἀπείργων

**Χαίροις Πάτερ Νεόφυτε.**

Πλήρης χάριτος θείας, καὶ ὀσμῆς οὐρανίας, ἐμπνέοντα πολλὴν εὐωδίαν, ἐφάνησαν ἡμῖν ἀληθῶς, ἀπὸ τοῦ τάφου τὰ θεῖά σου λείψανα, ἃ πίστει προσπτυσσόμενοι, Νεόφυτε Θεῷ βοῶμεν·

**Ἀλληλούϊα.**

Ρώμῃ καὶ δυναστείᾳ, Παρακλήτου τῇ θείᾳ, τελέσας σου τὸν ἔγκλειστον βίον, πρὸς πλάτος μέγα τοῦ οὐρανοῦ, κατασκηνώσας Νεόφυτε Ὅσιε, δυσχερειῶν ῥυόμενος, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε ὁ ὅσιος ἐν ἁγίοις
χαῖρε ὁ ἅγιος ἐν ὁσίοις
χαῖρε ὁ ἀνύσας ἐν ἄντρῳ τὸν βίον σου
χαῖρε ὁ ἐκφήνας ἐν τούτῳ τὸν τρόπον σου
χαῖρε ὅτι καταβέβληκας τοῦ ἐχθροῦ τὰς μηχανὰς
χαῖρε ὅτι ἀνελήλυθας οὐρανίους εἰς μονάς
χαῖρε ὁ τῆς Ἐγκλείστρας θαυμαστὸς πολιοῦχος
χαῖρε ὁ τῶν ἐν Κύπρῳ ἱερὸς λαμπαδοῦχος
χαῖρε παθῶν σβεννύων τοὺς ἄνθρακας
χαῖρε ζωῆς ἐκφαίνων τὰς χάριτας
χαῖρε φυτῶν γεωργὲ ψυχοτρόφων
χαῖρε καλῶν παροχεῦ θεοσδότων

**Χαίροις Πάτερ Νεόφυτε.**

Σωτηρίας πρὸς τρίβον, ἀσφαλῶς κατευθύνων, παμμάκαρ τοὺς πιστοὺς φοιτητάς σου, τύπον παρέστησας σεαυτόν, ἐν τῇ Ἐγκλείστρᾳ ἐναρέτων πράξεων, τοῖς σὲ σοφὸν διδάσκαλον, ἔχουσι Πάτερ καὶ βοῶσιν·

**Ἀλληλούϊα.**

Τῇ μελέτῃ σχολάζων, τῶν ἁγίων ῥημάτων, ἐπλήσθης οὐρανίου σοφίας· ἐντεῦθεν ὁ λόγος σου σοφέ, ὡς γλυκασμὸς

www.tezaurliturgic.ro

κατευφραίνει οὐράνιος, τῶν εὐσεβῶν τὸ πλήρωμα, βοώντων σοι ἐν εὐφροσύνῃ·

χαῖρε σοφίας ὁ μυστολέκτης
χαῖρε τοῦ χείρονος καταπέλτης
χαῖρε συγγραφεῦ διδαχῶν θεοδίδακτε
χαῖρε ἀσκητὰ ἱερὲ θεοτίμητε
χαῖρε βρύσις ἡ θεόβρυτος νάματος τοῦ μυστικοῦ
χαῖρε στήλη ἡ θεόγραφος νόμου τοῦ πνευματικοῦ
χαῖρε ὅτι τῷ λόγῳ ἀλογίαν παιδεύεις
χαῖρε ὅτι τὴν ρύμην τοῦ Βελίαρ ἐκτρέπεις
χαῖρε Χριστοῦ ἐκφαίνων τὸ εὔσπλαγχνον
χαῖρε ἡμῶν ἀρραγὲς θεμέλιον
χαῖρε νοὸς διαλύων τὸν ζόφον
χαῖρε Θεοῦ ἐμφυτεύων τὸν φόβον

**Χαίροις Πάτερ Νεόφυτε.**

Ὕπνωσας εὐφροσύνως, τῶν Ὁσίων τὸν ὕπνον, καὶ ἤρθης πρὸς Μονὰς ἀειζώους· τὸ δὲ σῶμά σου τὸ ἱερόν, ἐν τῇ σῇ Ἐγκλείστρᾳ κατετέθη Ὅσιε, παρὰ τῶν φοιτητῶν σου, ὑμνούντων σε καὶ ἐκβοώντων·

**Ἀλληλούϊα.**

Φῶς ἐκλάμπουσα θεῖον, τῶν σεπτῶν σου λειψάνων, ἡ θήκη πεφανέρωται Πάτερ μετὰ χρόνιον ἀποκρυβήν, ὡς θησαυρὸς πολύολβος τῆς χάριτος, ἁγιασμὸν παρέχουσα, τοῖς ἐκβοῶσί σοι τοιαῦτα·

χαῖρε τῆς χάριτος ἡ ἑστία
χαῖρε Κυπρίων ἡ δαδουχία
χαῖρε Ἱερέων ὁσίων ἀγλάϊσμα
χαῖρε Μοναζόντων κανὼν καὶ ὡράϊσμα
χαῖρε ὄλβος ἀναφαίρετος θεοσδότων δωρεῶν
χαῖρε τεῖχος ἀρραγέστατον κατ' ἐχθρῶν τῶν νοητῶν
χαῖρε ὅτι ἐκ τάφου θαυμαστῶς ἐπεγνώσθης
χαῖρε ὅτι τῇ θείᾳ μετοχῇ ἐθεώθης

χαῖρε χαρὰν παρέχων τοῖς τέκνοις σου
χαῖρε ἡμᾶς παιδεύων τοῖς ἔργοις σου
χαῖρε κρατὴρ μυστικῆς εὐφροσύνης
χαῖρε πρηστὴρ ψυχικῆς ἀφροσύνης

**Χαίροις Πάτερ Νεόφυτε.**

Χαίρει πᾶσα ἡ Κύπρος, τοῖς λαμπροῖς σου ἀγῶσι, καὶ τρόπον κατ' ἐξαίρετον ὄντως, Λεύκαρα Πάτερ ἡ σὴ πατρίς, σὺν τῇ σεπτῇ σου Ἐγκλείστρᾳ ὑμνοῦντές σε, ὧν ἐσαεὶ προΐστασο, τῷ σὲ δοξάσαντι βοώντων·

**Ἀλληλούϊα.**

Ψάλλοντές σου τούς πόνους, καὶ τὰ ἔπαθλα Πάτερ, τιμῶμέν σε ὡς θεῖον φωστῆρα· ἀλλά δίδου ἀπαύστως ἡμῖν, τῆς πατρικῆς σου ἀρωγῆς τὰς χάριτας· ἀεὶ γὰρ σοὶ προσπίπτομεν, καὶ ἐκβοῶμεν ἐκ καρδίας·

χαῖρε ὁ Ἔγκλειστος ἐν Ὁσίοις
χαῖρε ὁ πάνσοφος ἐν λογίοις
χαῖρε τῶν Λευκάρων βλαστὸς εὐθαλέστατος
χαῖρε τῆς Ἐγκλείστρας ποιμὴν ἐνθεώτατος
χαῖρε πάσης Κύπρου καύχημα καὶ ἑδραίωμα στερρὸν
χαῖρε εὐσεβούντων στήριγμα καὶ μεσίτης πρὸς Θεόν
χαῖρε τῆς Ὀρθοδόξου Ἐκκλησίας τὸ κλέος
χαῖρε τῶν σὲ τιμώντων ἀντιλήπτωρ καὶ σθένος
χαῖρε δι' οὗ παθῶν λυτρωθήσομαι
χαῖρε δι' οὗ φωτός πληρωθήσομαι
χαῖρε αὐγὴ φαεινὴ τῆς ψυχῆς μου
χαῖρε ἰσχύς κραταιὰ τῆς ζωῆς μου

**Χαίροις Πάτερ Νεόφυτε.**

Ὢ θεσπέσιε Πάτερ, τῶν Κυπρίων λαμπρότης, Νεόφυτε θεράπων Κυρίου, (ἐκ γ΄.) τὰ ἐφύμνια δέχου ἡμῶν, καὶ ἀντιδίδου ἡμῖν χάριν ἄνωθεν, τοῖς πόθῳ σοι προστρέχουσι, καὶ τῇ Τριάδι ἐκβοῶσιν·

**Ἀλληλούϊα.**

www.tezaurliturgic.ro

**Καὶ αὖθις τὸ Κοντάκιον: Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Ὡς ἐν σπηλαίῳ σεαυτὸν ἐγκλείσας Ὅσιε
Τοῦτο Ἐγκλείστραν ἁρμοζόντως προσωνόμασας
Καὶ ἰσάγγελον διήνυσας πολιτείαν.
Ἀλλ' ὡς χάριτος τῆς θείας ἐνδιαίτημα
Πάσης βλάβης ταῖς πρεσβείαις σου ἀπάλλαττε
Τούς βοῶντας σοι· χαίροις Πάτερ Νεόφυτε.

**Δίστιχον.**

Χαῖρέ σοι Νεόφυτε πόθῳ κραυγάζω
Γεράσιμος ὁ σπεύδων τῇ ἀρωγῇ σου.

* * *

**Προσόμοιον**
**τοῦ Ἁγίου Νεοφύτου τοῦ Ἐγκλείστου,**
**ψαλλόμενον μετὰ τὸ Ἀπόδειπνον**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν**

Χαίρων τῇ προστασίᾳ τῇ σῇ καὶ τῇ θερμῇ σου ἀντιλήψει, Νεόφυτε, λυτροῦμαι πάσης ἀνάγκης πάσῃ τοῦ βίου στιγμῇ καὶ βοῶ σοι, Πάτερ, μετὰ πίστεως· καὶ ταύτῃ με φύλαττε τῇ νυκτὶ ἱκετεύω σε, ἐξ ἐπηρείας καὶ βελῶν τοῦ ἀλάστορος καὶ παράσχου μοι καθαρὸν νοῦν καὶ γρήγορον, ὅπως ἐξεγειρόμενος τοῦ ὕπνου πρὸς Κύριον τὸν ὀρθρινὸν ὕμνον ᾄσω πολλῇ σπουδῇ καὶ θερμότητι, ὡς ἂν τῆς ἐξ ὕψους εὐμενείας ἐπιτύχω καὶ θείας χάριτος.